EFFECT, *s.* ἐργασία, ἡ. ἐνέργημα, τό. δύναμις, εως, ἡ. δρᾶσις, ἡ (*the act and power of effecting*). ἔργον, τό (*the result of the act, i. e. the thing effected*). The e.'s of the influence of the stars, τὰ τῶν ἄστρων ἀποτελέσματα: what will be the e. of this, τὰ ἐκ τούτων ἀποβησόμενα: to take e., (ἔργῳ) ἀποβαίνειν. ἀπόβασιν ἔχειν: the medicine takes e., τὸ φάρμακον ἐνεργεῖ: to have an e., ἐνεργῆ (ἐς) εἶναι: — a great e., πολὺ δύνασθαι *or* ἰσχύειν: the thing has the desired e., θέλοντί τινι *or* κατὰ γνώμην ἀποβαίνει τὸ πρᾶγμα: to have an e. upon aby, (εὖ, καλῶς, &c.) διατιθέναι τινά: athg has a powerful e. upon me, ἐμπαθῶς διάκειμαι ὑπό τινος: — a good or bad &c. e. upon me, εὖ, κακῶς, &c., διατίθεμαι (*pass.*) *or* πάσχω ὑπό τινος: to have a beneficial e. upon aby, ὠφελεῖν τινα. πολλοῦ ἄξιον εἶναί τινι: to bring to good e., κατορθοῦν τι: to be of no e., οὐδὲν δύνασθαι. μάταιον εἶναι. εἰς οὐδὲν ἀποβαίνειν: it was to no e., μάτην ἐγένετο. ἀπράκτως ἀπέβη: my defence produces an e., πλέον τι ποιῶ ἀπολογούμενος: your censure has no e., ψέγων οὐδὲν ἐς πλέον ποιεῖς: to take pains to no e., ἀποτυγχάνειν πονοῦντα. οὐδὲν πράττειν κάμνοντα. μάτην πονεῖν: that has no e., or is of no, or to no, e., ἄκαρπος, 2. μάταιος, 3. *See* CONSEQUENCE. ¶ *That wch strikes the senses, excites attention, &c.*] δύναμις, ἡ. To produce an e., αἴσθησιν παρέχειν. κινεῖν, διακινεῖν. ¶ *In effect*] *See* FACT, REALITY. ἔργῳ. ἀληθῶς, ὡς ἀληθῶς. ὄντως. ¶ *The purport of a speech, &c.*] *E. g.* the letter was to this e. that &c., ἐνεγέγραπτο *or* εἴρητο τάδε ἐν τῇ ἐπιστολῇ: to what e.? τί βουλόμενος; τί νοῶν; (*to what purpose.*) ¶ *Effects*] χρῆμα, τό. κτῆμα, τό. ἔπιπλα, τά (*pl.*; *esply moveables*). σκεύη τά. To pack up one's e.'s, συσκευάζεσθαι.

EFFECT, *v.* ¶ *To produce or be of an effect*] *See* EFFECT, *s.* ¶ *To bring about*] ἐργάζεσθαι, ἀπεργάζεσθαι. ἔργῳ ἀποδεικνύναι *or* καθιστάναι. ἐξανύτειν. διαπράττειν. διανύτειν. ἐπιτελεῖν. αἴτιον εἶναί τινος *or* τοῦ (*c. infin.*). μηχανᾶσθαι, ὅπως γενήσεταί τι. To e. nothing, πλέον οὐδὲν ποιεῖν. ἄπρακτον εἶναι: to e. the passage, τὴν διάβασιν ποιεῖσθαι.

EFFECTIBLE, πρακτός, 3. δυνατός, 3. ἀνυστός, 3. Not e., ἀδιάνυτος, 2. ἀμήχανος, 2: athg is not e., οὐκ ἐγχωρεῖ *or* ἐνδέχεται.

EFFECTIVE. ¶ *Producing an effect or some effect* (*usually*

said of things)] ἐνεργής, 2. ἐνεργός, 2. ἐνεργητικός, 3. πρακτικός, 3. ἀνυστικός, 3. ἀνύσιμος, 2. ἔμπρακτος, 2. ἰσχυρός, 3. To be or prove e., δύνασθαι: to be more e., κρείττω or κυριώτερον εἶναι. πλέον δύνασθαι or ἰσχύειν: to be very e., πολὺ δύνασθαι or ἰσχύειν. See EFFECT, s. and v. ¶ *Milit. t.* (= *able to carry arms or to fight*)] οἱ ἐν ἡλικίᾳ (*with ref. to age*), or *Crcl. with adjj.* μάχιμος, 2. ἄλκιμος, 2. πολεμικός, 3. ἀνδρεῖος. παρεσκευασμένος ὡς εἰς μάχην. ἐξωπλισμένος, 3. εὐσταλής (*well-armed and accoutred*). The e. force of the army is 20,000, τὸ στράτευμα τῷ ὄντι (or ἔργῳ) ἐστὶ δυεῖν μυριάδων (or ἐστὶ δισμυρίων τὸν ἀριθμὸν or τὸ πλῆθος).

EFFECTIVELY. *Fm adjj. under* EFFECTIVE.

EFFECTLESS. *See under* EFFECT.

EFFECTOR. *See* AUTHOR.

EFFECTUAL. ¶ *Producing the effect intended* (*effective* = *producing an effect*); *always said of things*] ἐνεργός, 2. ἀποτελεσματικός, 3. ἀνυστικός, 2. ἔμπρακτος, 2. To be or prove e., ἔργῳ ἀποτελεῖν or περαίνειν. ἀνύτειν. The poison is e., διαφθείρει τὸ φάρμακον.

EFFECTUALLY. *Advv. of* EFFECTUAL. Athg is done e., ἐξείργασταί τι, τετέλεσται, πεπέρανται, or τέλος ἔχει.

EFFECTUATE. *See* EFFECT, v.

EFFEMINACY, ἀνανδρία, ἡ. χλιδή, ἡ (*g. tt.*). μαλακία, ἡ. μαλακότης, ἡ. γυναίκισις, ἡ. τὸ γυναικῶδες. διάθρυψις, ἡ. ἡδυπάθεια, ἡ. To produce e., *see* EFFEMINATE, v.

EFFEMINATE, *adj.* γυναικώδης, 2. γυναικεῖος, 3. γυναικικός, 3. ἄνανδρος, 2. μαλακός, 3. θηλυκός, 3. θηλυδριώδης, 2. An e. life, τὸ ἀβροδίαιτον. χλιδή, ἡ. ἀνανδρία, ἡ: to render e., *see the verb following*: to be e., μαλακίζεσθαι (*pass.*). ἁβρύνεσθαι (*pass.*): to live an e. life, τρυφερῶς ζῆν. χλιδαίνεσθαι: an e. person, γυναικίας, θηλυδρίας, μαλακίας, ου, ὁ. ἁβρυντής, ὁ. μαλακίων, ὁ: to act in an e. manner, θηλυκεύεσθαι. γυναικίζεσθαι and γυναικίζειν. γυναικοπαθεῖν.

EFFEMINATE, *v.* (TRANS.) ἀποθηλύνειν. ἀπαλύνειν. θρύπτειν, διαθρύπτειν. μαλακίζειν.

EFFEMINATELY. *Fm adjj.* EFFEMINATE.

EFFERVESCE, ἀναφλύζειν, ἐκβράζεσθαι. κυμαίνειν *and* ἀναζεῖν (*the latter propr. and fig.*).

EFFERVESCENCE. *Crcl. with verbs under* EFFERVESCE.

EFFETE. ¶ *Propr.*] ἄκαρπος or ἄγονος, 2. γεγονὼς, υῖα, ός. ¶ *Fig.*] τῷ σώματι (or τῷ νῷ, &c.) ἀπειρηκὼς or παρηκμακώς. ἐξεστηκώς. ἕωλος, 2. *See* 'WORN out.'

EFFICACIOUS. ¶ *Apt to effect*, effective *and likely to prove* effectual (*always of things*)] ἐνεργής, 2. ἐνεργός, 2. ἐνεργητικός, 3. πρακτικός, 3. ἀνυστικός, 3. ἀνύσιμος, 2. δραστήριος, 3. ἔμπρακτος, 2. ἰσχυρός, 3. A most e. remedy, φάρμακον πανακέστατον, τό.

EFFICACIOUSLY. *Fm adjj. under* EFFICACIOUS.

EFFICACY, ἐνέργεια, ἡ. δύναμις, εως, ἡ. ἰσχύς, ύος, ἡ. *See* EFFECT.

EFFICIENCE, -CIENCY, τὸ ποιητικόν. τὸ δραστήριον. δραστηριότης, ἡ. A man of e., ἀνὴρ δραστήριος, 3. *See* EFFICACY, &c.

EFFICIENT, ποιητικός, 3. αἴτιος, 3 (*causing to be*). E. cause, αἴτιον αὐτοτελές, τό (*causing by itself*; *opp. to concurrent or partial cause*, συναίτιον). ¶ *Of persons*] δραστήριος, 3. He has shown himself very e., πολλοῦ ἄξιος (or πολλῶν αἴτιος) γίγονεν.

EFFICIENTLY. *Fm adjj. under* EFFICIENT.

EFFIGY. *See* IMAGE, PORTRAIT.

EFFLORESCENCE. ¶ *Propr*] ἄνθη, τά. ἄνθησις, ἡ. ¶ *Fig.*: *of the skin* (*med. t.*)] ἐξανθήματα, τά.

EFFLORESCENT, ἐξανθῶν, οῦσα, οῦν. E. salt (*as nitre*, &c., *on the ground*), ἅλες ἐξανθοῦσαι, νίτρον ἐξανθοῦν, τό.

EFFLUENCE, ἀποῤῥοή, ἀπόῤῥοια, ἡ. ἐκροή, ἡ. ἔκρους, ου, ὁ.

EFFLUENT. *Fm verbs under* 'to FLOW out.'

EFFLUVIUM, ἀτμός, ὁ. τὸ ἀποφερόμενον. ὀσμή, ἡ. Noisome e., δυσῶδες πνεῦμα, τό.

EFFLUX. *See* EFFLUENCE.

EFFORCE. *See* to FORCE.

EFFORT, σύντασις, ἔντασις, διάτασις, ἡ (*as act*). συντονία. πόνος, ὁ (*as thing or condition*). With e., διατεταμένως, συντεταμένως. συντόνως: by dint of great e.'s, σὺν πόνῳ. ἐπιπόνως. μάλα μόγις. χαλεπῶς καὶ μόλις: without e., ἀκονιτί: to make an e., ἀποτείνεσθαι, διατείνεσθαι. ἰσχυρίζεσθαι. προθυμεῖσθαι (*pass.*). σπεύδειν. σπουδάζειν. ἐφίεσθαι. προαιρεῖσθαι. πειρᾶσθαι (*mid.*). μελετᾶν. φιλοτιμεῖσθαι (*mid.*). ζηλοῦν: to make every e., περὶ παντὸς ποιεῖσθαί τι (*about athg*): to make e.'s to accomplish athg, προθυμεῖσθαι (*pass.*) ποιεῖν τι: to make great e.'s, σπουδὴν πολλὴν ποιεῖσθαι or ἔχειν. πολλὰ πραγματεύεσθαι περί τι: what e.'s did not he make to bring about a cessation of hostilities? τί οὐκ ἐποίησε σπονδὰς αἰτῶν; it requires some e., ἐπιμελείας δεῖ. πόνων ἐστίν: the greatest e.'s are required, ἐργωδέστατόν ἐστι: it is not worth making any e. about it, οὐκ ἔχει ὑπόθεσιν σπουδῆς: to make vain e.'s, ματαιοπονεῖν.

EFFRONTERY, θρασύτης and ἰταμότης, ητος, ἡ. ἀδυσώπητον, τό. ἀκολασία, ἡ. ἀναισχυντία and ἀναίδεια, ἡ (*impudence*). ἀσέλγεια, ἡ. A piece of e., ἀναισχύντημα, τό: e. in speaking, θρασυστομία, ἡ: e. in acting and speaking, ὑπομονὴ αἰσχρῶν ἔργων τε καὶ λόγων: to display great e., θρασύνεσθαι. ἀσελγαίνειν and ἀσελγεῖν. ἀναισχυντεῖν. τὸ μέτωπον παρατρίψασθαι (*Strabo*): to speak with much e., θρασύνεσθαι λέγοντα. θρασυστομεῖν.

EFFULGENCE. *See* RADIANCE. φέγγος, τό. λάμψις, ἡ. ἡ τοῦ φέγγους αὐγή. ἀπαυγή, ἡ. ἀπαύγασμα, τό. ἀπαυγασμός, ὁ.

EFFULGENT. *See* RADIANT. στιλπνός, 3. λαμπρός, 3. To be e., λάμπειν, ἀπολάμπειν. στίλβειν, ἀποστίλβειν. ἀπαυγάζειν (*e. g.* τὴν χροίαν, *to have the skin e.*): to be e. with glory, σεμνὸν ἀπολάμπειν.

EFFUSE, ἐκχεῖν, προχεῖν: — at a sacrifice, σπένδειν, λείβειν: to e. over aby, καταχεῖν or κατασκεδαννύναι τινός.

EFFUSION, ἔκχυσις, ἡ. σπονδή, λοιβή, ἡ (*at a sacrifice*): *also* προχοή, ἡ. ῥοή, ἡ. ¶ *Fig.*: *e.g. of blood*] φόνος, ὁ. σφαγή, ἡ. Without any e. of blood, ἀναιμωτί: — of the heart, ἡ τῆς ψυχῆς διάχυσις, εως, ἡ: — of words, λόγων or ῥημάτων πρόχυσις, ἔκχυσις: an unpremeditated e., αὐτοσχεδίασμα, τό.

EGG, ὠόν, τό. To lay e.'s, ᾠὰ τίκτειν: to hatch e.'s, ἐκλεπίζειν, ἐκλέπειν, ἐκνεοττεύειν: to be as like as one e. to another, σύκου ὁμοιότερον εἶναί τινι: the white of an e., τὸ τοῦ ᾠοῦ λευκόν: the yolk of an e., λέκιθος, ἡ. ὁ τοῦ ᾠοῦ κρόκος: that lays e.'s, ᾠὰ τίκτων, ουσα, ον: in the shape of an e., ᾠοειδής, 2.

EGG-SHELL, τὸ τοῦ ᾠοῦ ὄστρακον.

EGOTISM, περιαυτολογία, ἡ. φιλαυτία, ἡ. τὸ περιαυτίζεσθαι.

EGOTIST, φίλαυτος, ὁ. ὁ περιαυτιζόμενος or περιαυτολογῶν.

EGREGIOUS. ¶ *In a laudatory sense*] *See* DISTINGUISHED. ¶ *In a reprehensible sense*] δεινός, 3. ἐναργής, 2. An e. lie, δεινὸν or ἐναργὲς ψεῦδος: an e. delinquency, δεινὸν or αἰσχρὸν ἀδίκημα: an e. blunder, ἁμάρτημα, τό, and ἁμαρτία, ἡ: to commit e. faults, μεγάλα ἁμαρτάνειν or σφάλλεσθαι: an e. rogue, πανουργότατος, ὁ: *poet.* τριπάν-

ουργος. ἐπίτριπτος, 2: an e. thief, *κλεπτίστατος, ὁ*: to be an e. fool, *λίαν ἀνόητον εἶναι.*

EGREGIOUSLY. ¶ *In a good sense*] *διαφερόντως. ἐξαιρέτως. οὐχ ἥκιστα. δεινῶς. μάλιστα.* ¶ *In a bad sense*] *E.g.* to be e. deceived, *πλεῖστον ψεύδεσθαι or σφάλλεσθαι*: e. ignorant, *ἀστοιχείωτος*, 2.

EGRESS, EGRESSION, *ἔξοδος, ἡ* (*both concrete and abst.*).

EGRET (*the white heron*, ardea gazzetta), *λευκερώδιος, ὁ.*

EH! ¶ *Interj.*] *αἶ! ἔα!* ¶ *Interrog.*] *εἶα; εἰπέ μοι;*

EIGHT, *ὀκτώ. η'* (*as cypher or numeral sign*). The number e., *ἡ ὀκτάς, άδος*: the eighth, *ὄγδοος*, 3: e. times, *ὀκτάκις*: in e. different manners, *ὀκταχῶς*: that has e. feet, *ὀκτάπους, πουν* (*gen. ποδος*): e. feet long, *ὀκτὼ ποδῶν and ὀκτάμετρος*, 2 (*= a verse of e. feet*): weighing e. pounds, *λιτρῶν ὀκτώ*: e. years old, *ὀκταέτης, ους, ὁ, ἡ* (*fem.*), *also ὀκταέτις, ιδος, ἡ. ἔτη ἔχων ὀκτώ. ἔτος ἄγων ὄγδοον*: that lasts e. years, *ἐτῶν ὀκτώ*: space of e. years, *ὀκταετηρίς, ίδος, ἡ*: that has e. strings, *χορδὰς ἔχων ὀκτώ*: that has e. pillars, *ὀκτάστυλος*, 2: that has e. sides, *ὀκτάεδρος*, 2: that has e. angles, *ὀκτάγωνος*: that has e. parts, *ὀκταμερής*: that has e. members, *ὀκτάκωλος*: a team of e. horses, *ἵππων ὀκτώ*: lasting e. hours, *ὡρῶν ὀκτώ*: lasting e. days, *ὀκταήμερος*, 2. *ἡμερῶν ὀκτώ*: e. hundred, *ὀκτακόσιοι*, 3: e. thousand, *ὀκτακισχίλιοι*, 3.

EIGHT-FOLD, *ὀκταπλοῦς, ῆ, οῦν. ὀκταπλάσιος*, 3.

EIGHT-OARED, *ὀκτήρης*, 2.

EIGHTEEN, *ὀκτωκαίδεκα. εἴκοσι δυοῖν δεόντοιν or δέοντα. ὀκτὼ ἐπὶ δέκα. ιη'* (*as numeral sign*).

EIGHTEENTH, *ὀκτωκαιδέκατος*, 3. *ὄγδοος ἐπὶ δεκάτῳ or ἐπὶ δέκα.*

EIGHTIETH, *ὀγδοηκοστός*, 3.

EIGHTY, *ὀγδοήκοντα. π'* (*as numeral sign*). A man of e. years, *ὀγδοηκοντούτης and ὀγδοηκονταέτης*, 2. *ἐτῶν ὀγδοήκοντα.*

EITHER—OR, *ἤ—ἤ. ἤτοι—ἤ* (*= the Latin* aut, ant, *and* vel, vel). *εἴτε—εἴτε* (*= the Latin* sive, sive). ¶ *With negative*] Not—either, *οὐδέ, μηδέ, e. g.* I do not say this either (*= any more than the other*), *οὐδὲ τοῦτο λέγω.*

EITHER (*of the two*), *ἕτερος*, 3. *ἑκάτερος*, 3. *See* BOTH, EACH. E. of two (*alternative*), *δυοῖν θάτερον or θάτερα*: on, from, to e. side, *ἑκατέρωθι, -θεν, -σε*: in e. manner or way, *ἀμφοτέρως, ἑκατέρως. ἀμφοτεράκις. ἐπ' ἀμφότερα*: not—either (*e. g. I have not seen either*), *οὐδέτερος—μηδέτερος*, 3.

EJACULATE, *ἐκβάλλειν. ἐξωθεῖν. ἐκφωνεῖν. ἀφιέναι φθόγγον.*

EJACULATION. ¶ *Act of ejaculating*] *Crcl. with verbs in preceding Article.*

EJECT, *ἐκβάλλειν or ἐκρίπτειν, ἀπορρίπτειν. ἔξω ῥίπτειν. ἐξωθεῖν, παρωθεῖν* (*to push out*). *ἐξελαύνειν* (*to chase out*). *ἀπελαύνειν or ἐκβάλλειν πληγαῖς. βάλλοντα ἐκκόπτειν* (*to beat out*), *also ἀποτυμπανίζειν. ἔξω ποιεῖν. ἐκποδὼν ποιεῖσθαι* (*to get out*). *ἐκκινεῖν, προκινεῖν ἔξω* (*to remove fm*). To e. fm one's possession, *ἐκβάλλειν τινὰ τῶν ὑπαρχόντων. ἐξάγειν τινὰ ἐκ τῶν πατρῴων*: to e. out of the country, *ἐκβάλλειν τινὰ ἐκ τῆς χώρας, ἐκ τῆς πόλεως or τῆς πόλεως*: to e. fm his estate or dwelling-place, *ἐξανιστάναι τινὰ ἐκ τῆς χώρας*: to be e.-d, *ἐκπίπτειν*: — out of a (strong) position, *ἐκκρούειν or ἐκκόπτειν τινά. See* 'to CAST out.'

EJECTION, *ἔξωσις, ἡ* (*g.t.*). *ἐξέλασις, ἡ. ἐκβολή, ἡ. ἐκκοπή, ἔκκρουσις, ἡ* (*a pushing out*). *See* to EJECT. ¶ *Expulsion*] *ξενηλασία, ἡ* (*of a stranger out of a town*). *ἀνάστασις, ἐξανάστασις, ἐξαγωγή, ἡ* (*fm an estate or dwelling-place*).

EJECTMENT. *See* EJECTION.

EJULATION, *οἰμωγή, ἡ.* To break out in e.'s, *ἀναβοᾶν εἰς οἰμωγήν. ἀνοιμώζειν. See* LAMENT.

EKE, *adv. See* ALSO.

EKE, *v. See* INCREASE, ENLARGE. To e. out athg, *μηκύνειν or ἐκπληροῦν τι ὥστε πρὸς τὴν χρείαν, or τὸ δέον, ἐξικνεῖσθαι*: he finds it a hard matter to e. out his speech, *μόλις τὸν λόγον πρὸς τὸ ἱκανὸν ἀναπληροῖ.*

ELABORATE, *v. ἐξεργάζεσθαι, ἀπεργάζεσθαι, κατασκευάζειν* (*g. tt.*). *ἐκπονεῖν* (*with much trouble*). *ἀπακριβοῦν* (*with much care*). *περιεργάζεσθαι* (*with excessive pains*). *καλῶς θεραπεύειν τι, and σπουδῇ πράττειν or ἀσκεῖν τι* (*to spare no pains about athg*).

ELABORATE, *adj. πραγματώδης*, 2 (*that requires great pains*). *ἐργώδης*, 2. *πολύπονος*, 2. *πολύμοχθος*, 2. *ἐσπουδασμένος*, 2 (*carefully done or wrought*), *also σπουδῇ πεποιημένος*, 3. It is an e. affair, *ἔργον ἐστί*: athg is very e., *ἔστι τι πολλοῦ πόνου*: an e. work, *ἔργον or τέχνημα* (*work of art*). *ἀπηκριβωμένον or σπουδῇ μεμελετημένον.*

ELABORATELY. *Fm adj.* ELABORATE, *and ἐπιμελῶς. σπουδῇ. See* CAREFULLY. To do or perform e., *see* in to ELABORATE.

ELABORATENESS, *ἐπιμέλεια, ἡ. σπουδή, ἡ. ἀκρίβεια ἡ.*

ELAPSE, *διιέναι* (*διέρχεσθαι*). *οἴχεσθαι. ἐξήκειν. παριέναι, ἐξιέναι. φεύγειν.* The time e.'s, *οἴχεται or φεύγει ὁ χρόνος. διέρχεται or ἐξέρχεται ὁ χρόνος. παρέρχονται αἱ ἡμέραι*: the time is e.-d, *παρελήλυθεν ὁ χρόνος.*

ELASTIC, *ὑγρός*, 3. *ἀντίτυπος*, 2. *ἀντιτυπής, ές* (*resilient or causing to rebound*). *ἀντίτονος*, 2. *σύντονος*, 2. *Crcl. with ἀποπάλλεσθαι or ἀφάλλεσθαι.*

ELASTICITY, *ὑγρότης, ητος, ἡ. ἀντιτυπία, ἡ. τὸ σύντονον.*

ELATE, *v. ἐπαίρειν. διογκοῦν. τυφοῦν, ἐκτυφοῦν. See* 'to PUFF up.' To be e.-d, *ὀγκοῦσθαι, ἐπαίρεσθαι* (*pass.*). ¶ *To raise, heighten* (*in a good sense*)] VID.

ELATE, ELATED, *adj. περιχαρής*, 2. ¶ *In a reprehensible sense*] *ἐπηρμένος τινί or ἐπί τινι. ὀγκώδης*, 2. *ὑπερήφανος*, 2. *See* 'PUFFED up.'

ELATION, *περιχάρεια and περιχαρία, ἡ* (*excess of joy*). *ὄγκος, τῦφος, ὁ. ὑπερηφανία, ἡ* (*insolent pride*).

ELBOW, *s. ἀγκών, ῶνος, ὁ. ἀγκάλη, ἡ*: *poet. ὠλένη, ἡ.* The upper e., *ἀγκῶνος κεφαλή, ἡ. ὠλέκρανον, τό*: to be at aby's e., *πρόχειρον εἶναι. ὑπηρετεῖν or ὑπουργεῖν τινι. εὐτρεπῆ εἶναι.*

ELBOW, *v. E. g.* to e. one's way, *διωθεῖσθαι. διαδῦναι.*

ELBOW-ROOM, *χώρημα, τό. χῶρος, ὁ.* To have or afford plenty of e.-r., *χωρεῖν τι.*

ELD, *s.* ¶ *Poet.*] *See* OLD AGE. ¶ *Old time*] *τὸ πάλαι.*

ELDER, (*g. t.*) *πρεσβύτης, ου, ὁ.* ¶ *In comparison*] *E. g. πρεσβύτερον εἶναι, ἡλικίᾳ προέχειν* (*than aby, τινός*). One's e.'s, *πρεσβύτεροι, οἱ.* ¶ *Absol.*: *e. g. one of the elders of a community, &c.*] *προστάτης, ου, ὁ. ἄρχων, οντος, ὁ*: *pl.* the e.'s (*= the ancients*), *οἱ παλαιοί. οἱ πάλαι. οἱ ἀρχαῖοι.*

ELDER (*tree*), *ἀκτέα* (*Hipp.*, sambucus nigra), *contr. ἀκτῆ, ἡ.* Of the e.-tree, *ἄκτινος*, 3: e.-blossom, *κάνωπον, τό*: dwarf-e., *χαμαιάκτη, ἡ* (*Theophr.*).

ELDERSHIP, *προστατεία, ἡ. προστασία, ἡ. ἐπιτροπεία, ἡ. ἀρχή, ἡ.*

ELDEST. *Fm* OLD, *Vid.* ¶ *Firstborn*] *πρωτόγονος, πρωτογενής, πρωτότοκος*, 2.

ELECT, *v. αἱρεῖσθαι, προαιρεῖσθαι. ἐκλέγειν. κρίνειν, προκρίνειν. ψηφίζεσθαι or ψηφοφορεῖν* (*by voting*). *χειροτονεῖν* (*by show of hands*). To e. a chief, *ἑλέσθαι τινὰ στρατηγόν*: to e. aby as a leader, &c., *αἱρεῖσθαί τινα ἄρχοντα. ἀποδεικνύναι τινὰ ἄρχοντα.*

ELECT, *s. πρόκοιτος*, 2. *αἱ-*

ρετός, 3. λεκτός, 3. ἀπόλεκτος, 2.

ELECTION. ¶ *Choice*] VID. ¶ *Election to an office*] αἵρεσις, ἡ (*g. t.*). πρόκρισις, ἡ. χειροτονία, ἡ. *See* ELECT. ἡ τῶν ἀρχόντων αἵρεσις, ἀρχαιρεσίαι, ῶν, αἱ (*the e. of magistrates*). Without e., ἄνευ ψήφου : an office held by e., αἱρετὴ ἀρχή, ἡ : the day of e., ἀρχαιρεσία, ἡ. ἀρχαιρέσιον, τό. ἀρχαιρεσιακὴ ἡμέρα, ἡ : an assembly held for the sake of an e., ἀρχαιρεσιακὴ ἐκκλησία, ἡ : to come fm an e., ἐξ ἀρχαιρεσιῶν ἀπιέναι : to hold or to have an e., ἀρχαιρεσιάζειν.

ELECTIVE. E. prince, αἱρετὸς ἄρχων or βασιλεύς, ὁ : e. emperor, αἱρετὸς αὐτοκράτωρ, ὁ : e. king, αἱρετὸς βασιλεύς, ὁ : e. monarchy, πόλις, ἐν ᾗ οἱ πολῖται χειροτονοῦσι or αἱροῦνται τὸν βασιλέα.

ELECTOR. ¶ *That has the right of voting*] χειροτονητής, οῦ, ὁ. ψηφοφόρος, ὁ. I am one of the e.'s, ἔξεστί μοι or ἐξουσία δίδοταί μοι αἱρεῖσθαι.

ELECTRIC, -TRICAL, ἠλεκτρικός, 3 (*mod. Greek*). E. machine, ἠλεκτρικὴ μηχανή, ἡ.

ELECTRICITY, ἠλεκτρικὴ δύναμις, ἡ (*mod. Greek*).

ELECTRIFY, ἠλεκτρίζειν (*mod. Greek*).

ELECTUARY, ἔκλειγμα, τό. ἐκλεικτικόν, τό.

ELEEMOSYNARY. *E. g.* e. aid, ἐλεημοσύνη, ἡ : to receive e. aid, εὐεργετεῖσθαι (*pass.*) ὑπό τινος.

ELEGANCE, κομψότης, ητος, ἡ. τὸ κομψόν. τὸ ἁβρόν, ἁβρότης, ητος, ἡ. E. of form, εὐμορφία, εὐφυΐα : — of language, καλλιέπεια : — of manners, εὐσχημοσύνη.

ELEGANT, γλαφυρός, 3. κομψός, 3. ἁβρός, 3. κόσμιος, 3. καλός, 3. εὐπρεπής, 2. κεκαλλωπισμένος, 3. κοσμήματα ἔχων (ουσα, ον) πολλά. E. manners, τὸ κόσμιον, εὐκοσμία, ἡ. εὐπρέπεια, ἡ. εὐτραπελία, ἡ. ἀστειότης, ητος, ἡ. εὐσχημοσύνη, ἡ : a person of e. manners, κόσμιος (or εὐτράπελος or ἀστεῖος) ἀνήρ : e. language, καλιλλογία : e. discourse, κεκαλλιεπημένος λόγος (*Pl.*). ¶ *Used substantively* = *fop*] ἀστικὸς καὶ ἁβρός.

ELEGANTLY. *Fm adjj. under* ELEGANT.

ELEGIAC, ἐλεγεῖος, 3. E. poet, ἐλεγειοποιός, ὁ.

ELEGY, ἐλεγεία, ἡ. ἐλεγεῖον, τό. ἔλεγος, ὁ.

ELEMENT. ¶ *Propr.*] στοιχεῖον, τό. αἴτιον, τό : *pl.* τὰ ἐξ ἀρχῆς ὑπάρχοντα. τὰ πρῶτα στοιχεῖα, *also* στοιχείωμα, τό (*primitive matter, the basis*). ἀρχή, ἡ (*that exists before every thing else*). The e.'s, αἱ ἀρχαί. τὰ κατ' ἀρχάς. ¶ *Fig.: with ref. to science or learning*] τὰ στοιχειώματα or στοιχεῖα. To instruct in or teach the first e.'s, τὰ πρῶτα στοιχεῖα διδάσκειν, καταστοιχειοῦν and καταστοιχίζειν. *See* ELEMENTARY. ¶ *Metaph.*] I am quite in my e., πέφυκα ἐνδιαιτᾶσθαί τινι. ἥδομαι διατρίβων ἔν τινι : he shows himself quite in his e., ἐνταῦθα κράτιστος δὴ ἑαυτοῦ φαίνεται (*excels in athg*).

ELEMENTARY, στοιχειώδης, στοιχειωτικός and στοιχειωματικός, 3. E. substance, ἀρχή, ἡ. στοιχεῖον, τό : an e. book, στοιχειακὸν or στοιχειωματικὸν βιβλίον, τό : e. knowledge, ἡ περὶ τὰ στοιχεῖα ἐπιστήμη : — of language or grammar, γράμματα, τά. γραμματική, ἡ : to have some e. knowledge, γράμματα ἐπίστασθαι : to acquire it, γράμματα μανθάνειν : e. school, γραμματεῖον, γραμματοδιδασκαλεῖον, τό : e. instruction, γράμματα, τά : to give it, γράμματα διδάσκειν : an e. pupil, ὁ τὰ πρῶτα γράμματα διδασκόμενος : an e. instructor, στοιχειωτής, οῦ, ὁ. ὁ τὰ πρῶτα γράμματα διδάσκων. γραμματιστής, γραμματικός, ὁ.

ELEPHANT, ἐλέφας, αντος, ὁ. The trunk of an e., ἡ τοῦ ἐλέφαντος προβοσκίς or χείρ : the tooth or tusk of an e., ὁ τοῦ ἐλέφαντος ὀδούς : the driver of an e., ἐλεφαντιστής, οῦ, ὁ. ὁ τοὺς ἐλέφαντας τιθασσεύων : belonging to an e., ἐλεφάντειος, 2.

ELEPHANTIASIS. ¶ *Kind of leprosy*] ἐλεφαντίασις, ἡ. ἐλεφαντιασμός, ὁ. To have the e., ἐλεφαντιᾶν.

ELEVATE, ὑψοῦν. αἴρειν, ἐπαίρειν. ἐγείρειν (*to raise, make higher*). *See* to RAISE. To e. oneself, αἴρεσθαι, ἀναφέρεσθαι, ἄνω φέρεσθαι (*pass.*) : to e. into Olympus, ἀναφέρειν εἰς Ὄλυμπον : to e. the mind, ἀνατείνειν or ἀνάγειν or ἐγείρειν τὴν ψυχήν. ψυχαγωγεῖν. ¶ *With ref. to rank, &c.*] αἴρειν μέγαν. ἐπαίρειν. αὐξάνειν. ἀνάγειν, ἀναβιβάζειν. μέγαν or μείζω or ἐκπρεπῆ ποιεῖν τινα. προάγειν or ἐξάγειν τινὰ ἐπὶ τιμήν. To e. aby's courage or spirits, εὐθυμότερον ποιεῖν τινα. ἐπιθαῤῥύνειν τινά : to e. or raise fm the dust, μέγαν ἐκ μικροῦ καὶ ταπεινοῦ ποιεῖν : to e. oneself fm an inferior state, αὐξάνεσθαι (*pass.*) *with or without* μέγαν. ἐπαίρεσθαι : to e. oneself over another, ὑπερηφανεύεσθαι, μεγαλαυχεῖν (*in a reprehensible sense*).

ELEVATED. ¶ *Propr.* (= *raised*)] *Crcl. with past partcp. of verbs under* to ELEVATE. ¶ *Fig.* (*of concrete objects*)] ὑψηλός, 3. ἐξέχων, ουσα, ον. ἀναφανείς, εῖσα, έν (*g. tt.*). ¶ *Fig.*] ὑψηλός, 3. δεινός, 3. θεῖος, 3. σεμνός, 3. λαμπρός, 3. εὐγενής, 2, and μέγας, -γάλη, -γα (*with ref. to rank, birth, &c.*). μεγαλοπρεπής, 2 (*of dignity, honour, &c.*). μεγαλόψυχος, 2 (*of the mind*). μεγαλόθυμος (*of the spirit, courage, &c.*). To be e.-d above aby, εἶναι ὑπέρ τινα. μείζω εἶναί τινος.

ELEVATION. ¶ *Act of lifting up*] ἄρσις, ἡ (*g. t.*). ὕψωσις, ἡ (*a lifting up*). αὔξησις, ἡ (*a raising, increasing*), *also* προαγωγή, ἡ. *See* to ELEVATE. ἀναγωγή, ἡ (*of the spirit*). μέγεθος, τό. ὕψος, τό (*highness*). ὑψηλότης, ἡ. ¶ (*In the concrete*) *the thing elevated*] ὕψωμα, τό. ἀνάστημα, τό. ἔπαρμα, τό. ἄκρον, τό. ἄκρα, ἡ. ὑψηλόν, τό (*a height or elevated point*). γεωλοφία, ἡ (*an eminence*, VID.). E. (*altitude*) of the pole (*mathem.* = *latitude*), ὕψος τοῦ πόλου. ¶ *Fig.*] E. (= *raising*) of the voice, ἡ τῆς φωνῆς διάτασις : e. to honours, προαγωγή, ἡ. προβίβασις, ἡ. ἡ εἰς τὰς τιμὰς προκοπή : e. to the throne, ἡ τοῦ θρόνου ἐπίτευξις : e. (*a lifting up*) of the soul, ἀναγωγή, ἡ : e. of mind, sentiments, or character, μεγαλοψυχία, ἡ. μεγαλο- or ὑψηλοφροσύνη or μεγαλογνωμοσύνη, ἡ. φρόνημα, τό, and ἔπαρμα, τό (*the sense of elevation*) : a man of great e. of mind or soul, ἀνὴρ μεγαλόψυχος or μεγαλόφρων or μεγαλόθυμος : e. of spirits, ἱλαρότης, ἡ. *See* ELATION. E. of the pulse, σφοδρότερος παλμός, ὁ, τοῦ αἵματος. ¶ *In architecture*] ὀρθογραφία, ἡ.

ELEVEN, ἕνδεκα. ια' (*as numeral sign*). E. times, ἑνδεκάκις : e. years old, ἑνδεκαετής, 2. ἕνδεκα ἔτη ἔχων, ουσα, ον. ἑνδέκατον ἔτος ἄγων, ουσα, ον : that lasts e. years, διὰ ἕνδεκα ἐτῶν : that lasts e. days, ἕνδεκα ἡμερῶν.

ELEVENTH, ἑνδέκατος, 3. δέκατος πρῶτος. On the e. day, ἑνδεκαταῖος, 3 : the e. part or portion, ἑνδέκατον μέρος, τό. ἑνδεκατημόριον, τό.

ELF. ¶ *Northern mythol.*] ἐξωτική, ἡ (*mod. Greek*). ¶ *Fig: dwarf*] VID. ἀνθρωπάριον, ἀνθρώπιον, τό.

ELICIT, ἐξάγειν. ἐκκαλεῖν. ἐφέλκεσθαι. προκαλεῖν. ἐκκαλεῖσθαι. To e. athg (*e. g. a confession*) fm aby, ἐξάγειν τι (ὁμολογίαν) τινος : to e. aby's tears, δάκρυα παριστάναι τινί. προάγειν τινὰ εἰς δάκρυα : to e. a laugh, γέλωτα παρέχειν τινί or γέλωτα ἐξάγειν τινός : to endeavour to e. laughter, μηχανᾶσθαι γέλωτα.

ELICITATION. *Crcl. with verbs under* ELICIT.

ELIDE, ἐκθλίβειν (*to crush or force out; propr. and gramm. t.*). To e. the force of an argument (*Hooker*), διαλύειν, καταλύειν. ἀνασκευάζειν or ἀνασκευάζεσθαι

τὴν ἀπόδειξιν (*to confute it*). *See* CONFUTE.

ELIGIBILITY. ¶ *Capability of being elected*] *Crcl. with* οἷόν τε εἶναι αἱρεθῆναι. τὸ αἱρέτιον εἶναι. ¶ *Inherent quality of excellency*] ἐκπρέπεια, ἡ. προτέρημα, τό. ἀξίωσις, ἡ. τὸ ἐξαίρετον.

ELIGIBLE. ¶ *Capable of being chosen*] οἷός τε ὢν αἱρεθῆναι. ἐξαίρετος, 2. ἄριστος, 3. διαφέρων, ουσα, ον. κάλλιστος, 3. ἐκπρεπής, 2. More e., αἱρετώτερος, πλείονος ἄξιος: the most e., κράτιστος, πρεσβύτατος. οὐδενὸς δεύτερος (*of men*). τὸ ἄκρον. ἄνθος, τό (*of things*): an e. opportunity, εὐκαιρία, ἡ. εὐμάρεια, ἡ: an e. opportunity presents itself, καλῶς παρέχει: there being an e. opportunity, καλῶς παρασχόν.

ELIGIBLY, ἐξαιρέτως. οὐχ ἥκιστα. δεινῶς. μάλιστα. διαφερόντως.

ELIMINATE, θυράζειν. ἀποπέμπεσθαι. ἀπωθεῖν, ἐξωθεῖν, παρωθεῖν *and mid.* ἐκβάλλειν. ἀναιρεῖν *or* ἀφαιρεῖν.

ELIMINATION, ἀπελασία, ἡ. ἐκβολή, ἡ. ἄπωσις, ἡ. ἀπωσμός, ὁ.

ELISION, θλῖψις, ἡ. ἔκθλιψις, ἡ. Without e., ἀσυνάλειπτος, 2.

ELITE, ἄγημα, τό. ἐκλογή, ἡ. τὸ κράτιστον. ἔκκριτοι, λεκτοί *or* ἐξαίρετοι, οἱ. The e. of the army, λεκτοὶ ἀπὸ τοῦ στρατεύματος, οἱ. τὸ κράτιστον *or* τὸ ὄφελος τοῦ στρατοῦ.

ELIXIR, ἀπόζεμα, ἀφέψημα, τό.

ELK, ἄλκη, ἡ.

ELL, πῆχυς, εως, ὁ. An e. long, πηχυαῖος, 3: two, three, four e.'s long, δίπηχυς, τρίπηχυς, τετράπηχυς, 2: an e. wide, thick, long, πηχυαῖος τὸ πλάτος, τὸ πάχος, τὸ μῆκος.

ELLIPSE, ἔλλειψις, ἡ (*gram. and geom. t.*).

ELLIPTICAL, ἐλλειπτικός, 3.

ELLIPTICALLY. *Fm adj.* ELLIPTICAL.

ELM, πτελέα, ἡ. An e.-wood, πτελεών, ῶνος, ὁ: e.-wood (= *wood of the e.-tree*), πτελεῖνα ξύλα, τά: made of e.-wood, πτελεῖνος, 3: of e., or like e., πτελεώδης, 2.

ELOCUTION. ¶ *The mode of delivering*] λέξις, ἡ (*g. t.*). φωνή, ἡ (*voice*). ἐκφώνησις, ἡ. προφορά (*pronunciation*). διάθεσις, ἡ (*vivid representation of facts in declaiming*). ἦθος, τό. ἐνάργεια, ἡ (*expression of feeling*). ἔμφασις, ἡ (*powerful mode of setting forth prominent points in a speech*) *or* δεινότης, ἡ. Aby has a good e., λόγῳ χρῆται καλῷ. ἐπιτήδειός ἐστι λέγειν: brilliant e., ἡ τῆς λέξεως λαμπρότης.

ELOGY, ELOGIUM, ἔπαινος, ὁ. ἐγκώμιον, τό. To make or offer an e., ἔπαινον λέγειν ἐπί τινι. ἐπαίνους ποιεῖσθαι ἐπί τινι *or* ἐπί τινος.

ELONGATE, ἐκτείνειν, ἀποτείνειν, παρατείνειν. μηκύνειν. προάγειν.

ELONGATION, προαγωγή, ἡ. ἔκτασις, ἀπότασις, παρέκτασις, ἡ.

ELOPE, ἀποδιδράσκειν (τινά). δραπετεύειν (παρά τινος). E. together, συναποδιδράσκειν.

ELOPEMENT, ἀπόδρασις, ἡ. δρασμός, ὁ.

ELOQUENCE, ἡ τῶν λόγων δύναμις *or* ἐμπειρία. ἡ τοῦ λέγειν δεινότης, εὐέπεια, ἡ. εὐφράδεια *or* εὐφραδία, ἡ (*as quality*). πειθώ, οῦς, ἡ (*with ref. to the effect it has on others*). ῥητορική, ἡ (*as art*). He possesses some e., δεινός ἐστι λέγειν: he possesses remarkable e., δεινότατός ἐστι λέγειν: having natural talent for e., εὐφυὴς λέγειν: a man well known or distinguished for his e., ἀνὴρ ἀγαθὸς τὸν λόγον. ἀνὴρ δεινὸς *or* δυνατὸς λέγειν: forensic e., e. of the bar, οἱ κατ' ἀγορὰν λόγοι. εὐέπεια ἀγοραῖος *or* ἀγοραία.

ELOQUENT, δυνατὸς *or* δεινὸς λέγειν (εἰπεῖν). λόγων ἐπιστήμων *or* ἔμπειρος, 2. τεχνίτης τοῦ λέγειν, ὁ. εὐφραδής, 2. He is an e. person, δεινός ἐστι λέγειν: he is extremely e., δεινότατός ἐστι λέγειν: having natural talent to be e., εὐφυὴς λέγειν. *See* ELOQUENCE.

ELOQUENTLY. *Fm adjj. under* ELOQUENT *and* ELOQUENCE.

ELSE (*in the sense of* besides *only in composition*), πρὸς τούτοις, πρὸς τοῖς εἰρημένοις (*i. e. besides those already mentioned*). ἄλλος, η, ο. Some one or aby e., ἄλλος τις: any (= *every*) body e., πᾶς τις. ὁ τυχών, οἱ τυχόντες: if any body e., εἴ τις καὶ ἄλλος. ὥς τις καὶ ἄλλος: athg e., ἄλλο τι, ἀλλ' ὁτιοῦν: have you athg e. to say, or is there athg e. you have to say? ἆρ' ἄλλο τι ἔχεις λέγειν πρὸς τοῖς εἰρημένοις; I have heard nothing e., ἄλλο γ' οὐδὲν ἀκήκοα: I possess nothing e., οὐ κέκτημαι ἄλλο οὐδέν: if nothing e. besides, εἰ μή τι ἄλλο. ¶ *Else* (= *in the contrary case*)] εἰ δὲ μή (*i. e. if not*—). ἣν δὲ μή. You must pay us our wages, e. we leave you, τὸν μισθὸν δεῖ ἀποδιδόναι ἡμῖν, εἰ δὲ μή, ἀπολείψομέν σε: somewhere e., ἄλλοθι, ἀλλαχοῦ, ἀλλαχῇ: elsewhere, ἄλλοθί που. ἄλλῃ, ἑτέρωθι: anywhere e., ἄλλοθι *or* ἀλλαχοῦ πανταχοῦ: nowhere e., ἄλλοθι οὐδαμοῦ: e.-whither, ἀλλαχόσε. ἄλλοσε. ἄλλῃ. ἑτέρωσε. ἄλλοσέ ποι: fm somewhere e., or fm elsewhere, ἄλλοθέν ποθεν. ἀλλαχόθεν: to look out for assistance somewhere e., παρ' ἄλλων ζητεῖν ἐπικουρίαν: something e. than what is right or the law (= *something differing fm it*), ἄλλα *or* ἕτερα τῶν δικαίων. ἄλλα *or* ἕτερα ἢ τὰ δίκαια: nothing e. but, οὐδὲν ἄλλο ἤ, ἄλλο οὐδὲν εἰ μή (= nisi): to wish for nothing e. but —, οὐδὲν διάφορον εὔχεσθαι ἢ —: what e. but —? ἄλλο τι ἢ —; τί ἄλλο ἢ —; what e. are you doing but cheating—what e. is it but cheating? ἄλλο τι ἢ ἐξαπατᾷς; to leave your allies in the lurch, what e. can you call it but perjury? τοὺς συμμάχους προδόντες ἄλλο τι ἢ ἐπιορκεῖτε; what e. are you but liars? ἄλλο τι ἢ ψεύδεσθε;

ELSEWHERE. *See* ELSE.

ELUCIDATE, σαφηνίζειν, διασαφηνίζειν. *See* EXPLAIN.

ELUCIDATION, σαφηνισμός, ὁ. ἀνακάθαρσις, ἡ. *See* EXPLANATION.

ELUCIDATOR. *Crcl. with verbs in* ELUCIDATE. ☞ ἐξηγητής, οῦ, *and* ἑρμηνεύς, έως, ὁ (= *interpreter*).

ELUDE, ἐκκλίνειν τι. φεύγειν, διαφεύγειν, ἀποφεύγειν τι. διακρούεσθαί τι. ἐκτρέπεσθαι, παρεκτρέπεσθαι (*pass.*; *to turn or get out of the way of athg*). διεκδύεσθαι (*e.g. a question*), *also* ὑποστρέφειν (*Xen.*). ὑπεξέρχεσθαι. παραλλάσσειν τινά *or* τι (*Plut.*). To e. aby's attention, ἀποκρύπτειν τινά (*i. e. to withdraw fm his sight*): I e. athg by withdrawing, ἀποδιδράσκω τι. λανθάνω ἀπελθών: I e. (= *steal past aby*), παρέρχομαί τινα: to e. a blow, διακρούεσθαι *or* ἀποκρούεσθαι *or* εὐλαβεῖσθαι (*pass.*) πληγήν.

ELUSION (*e. g. of a blow*), εὐλάβεια, ἡ. ἔκκλισις, ἡ. φυγή, ἡ (*escape*): *and Crcl. with verbs under* ELUDE.

ELUSIVE. *Crcl. with verbs* ἐκκλίνειν, φεύγειν, διαφεύγειν, ἀποφεύγειν τι, *or with adjj. under* DECEPTIVE.

ELUSORY. *See* ELUSIVE.

ELYSIUM, Ἠλύσιον, ου, τό. Ἠλύσιον πεδίον, τό. αἱ τῶν μακάρων νῆσοι. οἱ τῶν εὐσεβῶν τόποι.

EMACIATE, κατατρύχειν, ἐκτρυχοῦν, ἀπισχναίνειν, καταπονεῖν: *also* μαραίνειν, ἀπομαραίνειν, ἐκτήκειν. φθίνειν. To become e.-d, μαραίνεσθαι, ἀπομαραίνεσθαι, ἐκτήκεσθαι (*pass.*). ἀτροφεῖν, ἀσαρκεῖν. φθίνειν (*and pass.*). E.-d, φθιτός, 3. ἄτροφος, 2. ἄσαρκος, 2. ἐκτακείς, εῖσα, έν (*e. g. with hunger, illness, &c.*, λιμῷ, νόσῳ).

EMACIATION, μαρασμός, ὁ. φθίσις, ἡ. ἀτροφία, ἡ. ἀσαρκία, ἡ.

EMANANT. *Crcl. with* EMANATE. *Vid.*

EMANATE. ¶ *Propr.: to flow forth*] *See* to FLOW. ¶ *To*

arise, have its source] γίγνεσθαι or ὑπάρχειν ἀπό τινος. αἰτίαν ἔχειν ἀπό τινος or ἔκ τινος. ἥκειν παρά τινος.

EMANCIPATE, ἐλευθεροῦν, ἐλεύθερον καθιστάναι or τιθέναι (*g. tt., propr. and impropr.; e. g. fm servitude, slavery; also fm fear, oppression, punishment, &c.*). ἀπελευθεροῦν, ἐλεύθερον ἀφιέναι (*a slave*). ☞ ἀφιέναι *and* λύειν *relates to a prisoner or one in chains.* αὐτόνομον εἶναι ἐᾶν τινα (*to set at liberty, allow to be his own master*). ¶ *Impropr.: to free fm* (*e. g. errour, prejudice, &c.*)] *See* to FREE. One who has been e.-d, ἀπελεύθερος, ὁ. ἀφεθεὶς ἐλεύθερος, ὁ. ἀπελευθερωθείς, έντος, ὁ.

EMANCIPATION, ἐλευθέρωσις, ἀπελευθέρωσις, ἀπελευθερία, ἡ (*of a slave*).

EMBALM, ταριχεύειν (*of a corpse*). E.-d, ταριχευτός, 3.

EMBALMER, ταριχευτής, ὁ.

EMBALMING, ταριχεία, ταρίχευσις, ἡ.

EMBANK, χώματι εἴργειν, κατείργειν, περιείργειν, κατέχειν. χοῦν χῶμα.

EMBANKMENT, χῶμα, τό (*g. t.*). ὄχθη, ἡ. κρημνός, ὁ. To raise an e., χοῦν χῶμα: to protect by an e., διαχοῦν, χώματι εἴργειν: to dig or pierce through an e., διαιρεῖν χῶμα.

EMBAR. *See* 'SHUT up.'

EMBARGO, ἡ τῶν νεῶν κατοχή. To lay an e., κατέχειν τὰς ναῦς. ἀπαγορεύειν τὰς ναῦς μὴ ἐκπλεῖν.

EMBARK. ¶ (TRANS.)] ἐμβιβάζειν, εἰσβιβάζειν, *with or without* ἐς τὴν ναῦν (*of persons*). ἐντιθέναι or εἰσάγειν εἰς τὴν ναῦν (*of things*). ναυστολεῖν τι (*to ship, send on board*). ἐπὶ νεῶν or ἐν ναυσὶν ἄγειν τι. ¶ (INTRS.)] ἐμβαίνειν, εἰσβαίνειν τῆς νεὼς or ἐπὶ τὴν ναῦν. ¶ *Fig.*] To e. persons in an undertaking, *see* INVOLVE. To e. in athg, ἰέναι εἴς τι. ἅπτεσθαί τινος. ἐπιχειρεῖν τινι (*to meddle with*). καταβαίνειν εἴς τι: to e. in a war, διὰ μάχης, διὰ πολέμου ἰέναι (τινί).

EMBARKATION. *Crcl. by verbs under* EMBARK.

EMBARRASS. ¶ *To throw into confusion*] ταράττειν, διαταράττειν, ἐπιταράττειν, ἀναταράττειν, καταταράττειν. *See* CONFUSE. To e. aby, ταράττειν τινά. διατρέπειν τινά. ἐνοχλεῖν τινι. ἄπορον καθιστάναι τινά. ἐμποδὼν ἵστασθαί or γίγνεσθαί τινι. ἐμποδίζειν τι: to be or become e.-d., ταράττεσθαι (*pass.*). διατρέπεσθαι (*pass.*). ἐνοχλεῖσθαι (*pass.; to be put out, confused*): to be e.-d (*with ref. to means*), ἀπορεῖν, ἀπόρως ἔχειν. ἀπορίᾳ ἐνέχεσθαι, θορυβεῖσθαι (*pass.*): to be much e.-d, ἐν πολλῇ ἀπορίᾳ εἶναι: to be e.-d about athg, ἄχθεσθαί (*pass.*) τινι. ἐνοχλεῖσθαι (*pass.*) ὑπό τινος: to be e. about an answer, or what reply to make, ἀπορεῖν ἀποκρίσεως. οὐκ ἔχειν ἀποκρίνασθαι: to e. a person respecting athg, ἀπορεῖν ποιεῖν τινά τινος: to e. aby's design or plan, διακόπτειν τὴν ἐπιβολήν. *See* to HINDER. To e. the question, ἀμφίβολον ποιεῖν τὴν ἐρώτησιν. ταράττειν καὶ φύρειν or συγχεῖν: I find it very e.-ing, ἐνοχλοῦμαι ὑπό τινος, ταράττομαι διά τι.

EMBARRASSED, ταρακτός, 3. ἄκριτος, 2. πεφυρμένος, 3 (*confused*). ἄπορος, 2. ἀμήχανος, 2. *See phrases in* EMBARRASS.

EMBARRASSMENT, ἀπορία, ἡ. ἀμηχανία, ἡ. ἀδημονία, ἡ. στενοχωρία, ἡ. ταραχή, ἡ. To find oneself in an e., *see* 'to be EMBARRASSED.' To cause or produce an e., εἰς ἀπορίαν καθιστάναι: — to aby, ἄπορον καθιστάναι τινά. ἀπορίαν κατασκευάζειν τινί. ἀμήχανον ποιεῖν or τιθέναι τινά: to get or assist aby out of his e., ἀκεῖσθαι τὰς ἀπορίας τινός or ἀπολύειν τινὰ τῆς ἀπορίας.

EMBASSADOR. *See* AMBASSADOR.

EMBASSADRESS. *See* AMBASSADRESS.

EMBASSY, πρεσβεία, ἡ (*both the function and the persons*). πρέσβεις, οἱ (*the persons*). To send an e., πέμπειν or ἀποστέλλειν πρέσβεις (*also without* πρέσβεις). πρεσβεύεσθαι (*of a state wch is represented by an e.*). An e. has arrived fm aby, πάρεστι πρεσβεία τινός. ἐληλύθασι πρέσβεις παρά τινος: the report of an e., ἀποπρεσβεία, ἡ. ἀπαγγελία, ἡ: to make such a report, ἀποπρεσβεύειν. ἀπαγγέλλειν: of or belonging to an e., πρεσβευτικός. 3 (*or c. gen.* τῶν πρέσβεων).

EMBATTLE, τάττειν, *or* παρα-, συν-, *or* δια-τάττειν τοὺς στρατιώτας ὡς εἰς μάχην. παρατάξασθαι τοῖς πολεμίοις.

EMBAY, εἰς κόλπον or ἐν κόλπῳ κατακλείειν.

EMBELLISH, κοσμεῖν, ἐπι- or ἐκ-κοσμεῖν. ἀσκεῖν. καλλύνειν, καλλωπίζειν. ποικίλλειν, διαποικίλλειν. To e. a discourse or story, ἐπικοσμεῖν. διασκευάζειν.

EMBELLISHMENT. ¶ *As act*] κόσμησις, ἡ. καλλωπισμός, ὁ. ¶ *As object*] κόσμημα, τό. κόσμος, ὁ. καλλώπισμα, τό. ποίκιλμα, τό. ποικιλία, ἡ. E. of a discourse, ἐπικόσμημα, κατασκεύασμα, τό.

EMBERS. *See* ASHES.

EMBEZZLE, ἀποστερεῖν τινά τι or τινός τι. ὑφαιρεῖσθαί τινός τι. σφετερίζεσθαι (*fm the public treasury*) *and* κλέπτειν τὰ δημόσια. ἐκ- or ἀπο-κλέπτειν. ὑφαρπάζειν. ὑπεξαιρεῖσθαι. νοσφίζεσθαι.

EMBEZZLEMENT, σφετερισμός. νοσφισμός, ὁ. κλοπή, ἡ. ὑφαίρεσις, ὑπεξαίρεσις, ἡ.

EMBITTER, ἐμπικραίνειν τι. ἐνοχλεῖν τινι. λυμαίνεσθαί τι.

EMBITTERMENT, ἐνόχλησις, ἡ. λύμη, ἡ.

EMBLAZON. ¶ *To adorn with heraldic devices*] παράσημα or ἐπίσημα ζωγραφεῖν. ¶ *To extol*] VID.

EMBLEM, ἔμβλημα, τό (*propr.; inlaid, mosaic ornament*). σύμβολον, τό. τύπος, ὁ. εἰκών, όνος, ἡ.

EMBLEMATIC, δι' εἰκόνος. τύπῳ.

EMBOSS, ἐκτυποῦν. E.-d, ἔκτυπος, 2: e.-d work or embossment, ἐκτύπωμα, τό, *or* ἔκτυπος προτομή, ἡ. ἀναγλυφή, ἡ.

EMBOWEL, ἐξαιρεῖν τὴν κοιλίαν or νηδύν. ἐκκοιλιάζειν, ἐξεντερίζειν. An e.-ing, ἐξαίρεσις, ἡ.

EMBRACE, *v.* περιβάλλειν. περιλαμβάνειν. προσπτύσσεσθαι (*all c. acc.*). περιπλέκεσθαι (*pass.; c. dat.*), *and* συμπλέκεσθαι. To e. aby's knees, ἅψασθαι γονάτων τινός: to e. an opportunity, λαβεῖν τὸν καιρόν. ἐπιλαμβάνεσθαι τοῦ καιροῦ: not to e. it, παραπεπτωκότα καιρὸν ἀφεῖναι or παραλείπειν τὸν καιρόν: to e. aby's party, ἑλέσθαι τά τινος. εἶναι μετά τινος or σύν τινι: to e. an opinion, δόξῃ χρῆσθαι: to e. aby's opinion, προστίθεσθαι τῇ τινος γνώμῃ or ἑλέσθαι τὴν τινος γνώμην: to make aby e. an opinion, δόξαν παρέχειν or παρασκευάζειν τινί: to e. a doctrine, δέχεσθαι λόγον: to e. a profession, ἐπαγγέλλεσθαι τέχνην. ¶ *Fig.: to include*] ἀμπέχειν, περιέχειν (*to contain, encompass*). κοινωνεῖν, μετέχειν τινός (*to be e.-d in athg*): to be e.-d in the alliance, κοινωνεῖν τῶν σπονδῶν. ἔνσπονδον εἶναι.

EMBRACE, *s.* περιβολή, περιπλοκή, ἐπιπλοκή, ἡ. ἀσπασμός, ὁ. πρόσπτυγμα, τό. To give an e., *see the Verb*: to return an e., ἀντασπάζεσθαι.

EMBRASURE, ὀπή, ἡ (*milit. t.*). E. of a window, θυρίδος στόμα, τό.

EMBROCATE. *See* FOMENT.

EMBROCATION. ¶ *The act of fomenting*] *Crcl. with* to FOMENT.

EMBROIDER, ποικίλλειν. κεντεῖν. E.-d, ποικιλτός, κεντητός, κεστός, 3: e.-d with gold, χρυσόπαστος or χρυσοποίκιλτος: e.-d girdle (*esply of Venus*), κεστὸς ἱμάς, άντος, ὁ: the act of e.-ing, ποικιλία *and* ποίκιλσις, ἡ: the art of e.-ing, ποικιλτική, ἡ: an e.-ing in gold, τὸ ποικίλλειν χρυσῷ.

EMBROIDERER. *Crcl. with verb* to EMBROIDER.

EMBROIDERY, ποίκιλμα, τό, *and* ἔργον πεποικιλμένον *or* ποικιλτόν, τό (*the e.-d work*). E. with gold, τὸ χρυσοποίκιλον *or* χρυσοποίκιλτον *or* χρυσόπαστον.

EMBROIL, τυρβάζειν, συμφύρειν, συγχεῖν (*to throw things into perplexity and confusion*). ἐμπλέκειν, περιπλέκειν, συμπλέκειν (*to implicate persons in strife or perplexity*). To e. every thing, πάντα φύρειν καὶ ταράττειν: to e. aby in athg, περιβάλλειν τινά τινι (*e. g.* πολέμοις, στάσεσι, κινδύνοις, *&c.*): — in a war, εἰς πόλεμον *or* ἐν πολέμῳ καθιστάναι τινά: — in a law-suit, ποιεῖν τινα δίκην καὶ πράγματα ἔχειν πρός τινα: to be e.-d, ἐμπεπλεγμένον εἶναι (*in athg*, ἔν τινι): to become e.-d in athg, περιπίπτειν τινί: to e. oneself in athg, ἐμπλέκεσθαί (*pass.*) τινι *or* εἴς τι. ἐμπαλάσσεσθαί (*pass.*) τινι. ἐγκυλινδεῖσθαι (*pass.*) εἴς τι.

EMBROILMENT, περιπλοκή, ἐμπλοκή, ἡ.

EMBRUE. *See* IMBRUE.

EMBRYO, ἔμβρυον, τό.

EMEND, διορθοῦν, ἐπανορθοῦν.

EMENDABLE. *Crcl. with verbs* EMEND.

EMENDATION, ἐπανόρθωσις, διόρθωσις, ἡ. ἐπανόρθωμα, τό.

EMERALD, σμάραγδος, ὁ *and* ἡ. Of e., σμαράγδινος, 3, *or* σμαράγδου (*gen.*): of the colour of an e., σμαράγδινος, 3. σμαραγδίτης, ου, ὁ: to have the colour of an e., σμαραγδίζειν.

EMERGE, ἀναδύεσθαι (ἀναδῦναι): fm athg, ἐξαναδύεσθαί τινος. ἀνακύπτειν ἔκ τινος. ἀναφέρεσθαι *or* ἀναπέμπεσθαι (*pss.*) ἔκ τινος. ὑπανατέλλειν. ¶ *Impropr.: e. g. with ref. to a lower condition*] μέγαν γίγνεσθαι. αὐξάνεσθαι (*pass.*). ἐπίδοσιν λαμβάνειν.

EMERGENCE. ¶ *The act of emerging*] *Crcl. with verbs in* EMERGE.

EMERGENCY. ¶ *Accident, unforeseen conjuncture*] συντυχία, ἡ. συμβεβηκός, ότος, τό. τὸ συμπῖπτον. ἀτυχία, ἡ. ἀτύχημα, τό. In a case of e., ἤν τι δέῃ. εἴ τι δέοι.

EMERGENT. ¶ *Propr.*] *With pres. partcp. of* EMERGE. ¶ *Impropr.: sudden, unexpected*] ἀπροσδόκητος, 2. ἀπροόρατος, 2. ἀπρονόητος, 2.

EMERITED. ¶ *Lat.* emeritus; *that has served out his time*] διαστρατευσάμενος (*as soldier*), ὑπὲρ τὸν κατάλογον ὤν. ἐξεστηκὼς τῆς ἀρχῆς (*as officer of the state*).

EMERSION (*e. g. of a star*). *See* RISING.

EMERY, σμύρις, ιδος, ἡ. To polish with e., σμυρίζειν.

EMETIC, ἐμετικόν, τό (φάρμακον). To give (aby) an e., ἐμετηρίζειν.

EMIGRANT, ὁ ἄποικος. ὁ μετοικιζόμενος. ὁ μετανάστης, ου.

EMIGRATE, ἐξιέναι. ἀποικίζεσθαι, ἐξοικίζεσθαι (*pass.*). ἀποικεῖν, ἐξοικεῖν, μετοικεῖν, μεταναστεύειν, μετανίστασθαι, ἀπανίστασθαι (*aor.* -στῆναι). τὴν πατρίδα καταλείπειν. εἰς γῆν τινα οἰκήσοντα ἀπιέναι (*to leave one's abode*).

EMIGRATION, μετοίκησις, ἀποίκησις, ἐξοίκησις, ἀνάστασις, μετάστασις, μετανάστασις, ἡ.

EMINENCE. ¶ *Propr.*] λόφος, βουνός, ὁ. γεώλοφος, ὁ, *and* γεωλοφία, ἡ. ὀφρύς, ύος, ἡ (*g. tt. = elevation, rising ground*). ¶ *Metaph.*] ὕψος, ους, τό. λαμπρότης, ἡ. μεγαλοπρέπεια, ἡ (*dignity, high rank, &c.*). ἀξίωμα, τό (*worth*). To attain to e., ἔξοχον γίγνεσθαι (*see* EMINENT): to have arrived at or reached great e., μεγάλας τιμὰς λαμβάνειν: by way of e. (*in the sense of 'par excellence'*), κατ' ἐξοχήν. διαφερόντως τῶν ἄλλων.

EMINENT. ¶ *High*] ὑψηλός, 3. ἐξέχων, ουσα, ον. ἀναφανείς, εῖσα, έν. *See* HIGH. ¶ *Fig.: distinguished*] ὑψηλός, 3. δεινός, 3. θεῖος, 3. σεμνός, 3. λαμπρός, 3. μεγαλοπρεπής, 2. ἐξαίρετος, 2. ἐκπρεπής, 2. The most e., οὐδενὸς δεύτερος: to be more e. in athg than another person, διαφέρειν τινός τινι *or* εἴς τι. κρατεῖν τινός τινι: to become e., λαμπρόν, ἔνδοξον, εὐκλεᾶ γίγνεσθαι. δόξαν λαμβάνειν: to render oneself e., δόξης τυγχάνειν. εὔκλειαν κτᾶσθαι: to render aby e., εὐκλεᾶ, λαμπρὸν καθιστάναι τινά. *See* CELEBRATED.

EMIR, φύλαρχος, ὁ. ἡγεμών, όνος, ὁ.

EMISSARY, ὁ ἐκπεμφθείς, έντος. ἀπόστολος, ὁ.

EMISSION, ἔκπεμψις, ἡ. ἀποπομπή, ἡ (*a sending out*). ἀπόρροια, ἡ (*a flowing out*).

EMIT, ἐκπέμπειν (*g.t. to send out*), *or* ἀποστέλλειν. ἀποπέμπειν (*to send away*). ἀφιέναι (*to send off*). ῥίπτειν, ἀπορρίπτειν (*to hurl, send off, as a weapon, &c.*).

EMMET. *See* ANT.

EMMEW. ¶ *To lock up*] VID.

EMOLLIENT, μαλακτικός, 3. An e., μάλαγμα, τό (*in med., externally applied*).

EMOLUMENT, λῆμμα, τό (*g. t.*). ὠφέλεια, ἡ. κέρδος, τό. μισθός, ὁ. μισθοφορά, ἡ (*pay*). δωρεαί, αἱ (*fees, perquisites*). ἄλλο τι κέρδος (*additional earnings*). πρόσοδοι αἱ πρὸς ταῖς νομιζομέναις (*additional income*). To have an eye to one's own e. (in athg), σκοπεῖν τὸ ἴδιον ξυμφέρον. σπουδάζειν ὑπὲρ τῶν ἰδίων ξυμφερόντων.

EMOTION, πάθος, τό. ὀργή, ἡ. ὁρμή, ἡ. Violent e., ἐμπάθεια, ἡ: to be in a violent e., ἐμπαθῶς ἔχειν *or* περιπαθῆ εἶναι: to excite or kindle e., ἐπαίρειν, ἀναπτεροῦν, παροξύνειν: athg kindles or excites in me an e. of joy, of sadness, of melancholy feelings, &c., ἐμπαθέστερον διατίθεμαι ὑπό τινος πρὸς χαράν, λύπην, οἶκτον, κτλ.: a person of strong e.'s, ἐμπαθής: I experience a strange e., θαυμάσια πάσχω.

EMPALE. ¶ *Surround with pales*] σταυροῦν, ἀποσταυροῦν, περισταυροῦν. χαρακίζειν, χαρακοῦν, ἀποχαρακοῦν. ¶ *To put on a pale*] σκολοπίζειν, ἀνασκολοπίζειν. ἀνασκολοπισθέντα διαφθείρειν. διαπείρειν.

EMPALEMENT. ¶ *As object*] χαρακισμός, ὁ. σταύρωμα, περισταύρωμα, τό. χαράκωμα, τό. ¶ *The act of empaling*] σταύρωσις, ἡ. χαράκωσις, χαρακοποιία, χαρακοβολία, ἡ.

EMPANNEL. *See* PANNEL.

EMPASSION, παροξύνειν. ἐπαίρειν, ἀναπτεροῦν (*to excite in general*). πάθος *and* ἐπιθυμίαν ἐμβάλλειν τινί. E.-d, ἐμπαθής, 2: to be e.-d, ἐμπαθῶς διακεῖσθαι *or* διατίθεσθαι.

EMPEROUR, αὐτοκράτωρ, ὁ. βασιλεύς, έως, ὁ. Roman e., Καῖσαρ. Σεβαστός: to declare e., ἀναδεικνύναι αὐτοκράτορα.

EMPHASIS (*in speaking*), ἡ τῶν λόγων ἔμφασις. To speak with e., δεινῶς λέγειν: to read or declaim with the proper e., ἀναγιγνώσκειν *or* διελθεῖν ἐν ἤθει πρέποντι: a speech without e., ψυχρὸς λόγος.

EMPHATICAL, ἐμφατικός, 3. ἐνεργής *and* ἐνεργός, 2. *See* IMPRESSIVE.

EMPHATICALLY, ἐμφατικῶς. μετ' ἐμφάσεως.

EMPIRE, ἀρχή, ἡ. βασιλεία, ἡ (*mod. Gr.* αὐτοκρατορία, ἡ).

EMPIRIC *or* EMPIRICAL. ¶ *That wch is discovered by trial or experiment*] ἐμπειρικός, 3 (*g. t.*). E. (knowledge, treatment, &c.), not scientific, κατ' ἐμπειρίαν, ἀλλ' οὐ κατὰ τέχνην, *or Crcl. with* ἐξ ὧν αὐτὸς ἔμαθεν πεπειραμένος: an e. fact, τὸ ὡς ἐπὶ τὸ πολὺ γιγνόμενον. ¶ *As subst.*] An e. (= *quack*), φαρμακεύς, ὁ. ἀγύρτης, ὁ. ἀγυρτίζων, ὁ.

EMPIRICALLY, ἐμπειρικῶς, ἐκ πείρας, *or fm adj.* EMPIRIC. To learn athg e., ἔμπειρον γίγνεσθαί τινος. πεῖραν λαμβάνειν τινός.

EMPIRICISM, ἐμπειρία, ἐμπειρική, ἡ.

EMPLOY, *v.* χρῆσθαί τινι (*g. t. to use, make a use of*). To

e. judiciously, badly, &c., *καλῶς, κακῶς τίθεμαι or διατίθεμαι*: to e. athg in any way (*e. g. time, money, &c.*), *προσαναλίσκω τινί or εἴς τι*: to e. athg, *χρῆσθαί τινι* (*πρός τινα, e.g. φαρμάκοις, a remedy*): to e. one's money for some purpose, *διατίθεσθαι χρήματα πρός τι. χρῆσθαι χρήμασιν εἴς τι*: — to one's own advantage, *εἰς τὸ ἴδιον θέσθαι*. ¶ *To employ aby* (= *give him some occupation*)] *ἔργον or ἀσχολίαν or πράγματα παρέχειν or ποιεῖν or κατασκευάζειν τινί. ἔργον διδόναι τινί. χρῆσθαί τινι εἴς τι*. I am wholly e.-d in athg, *πρὸς or ἐν τούτῳ ὅλος εἰμί*: to be e.-d or e. oneself, *ἄσχολον εἶναι. ἀσχολίαν ἔχειν or ἄγειν*: — in athg, *ἀσχολεῖσθαι* (*pass.*) *περί τι, κατά τι. διατρίβειν or διατριβὴν ποιεῖσθαι περί τι, ἀμφί τι, ἐπί τινι, ἔν τινι, πρός τινι. εἶναι ἔν τινι or πρός τινι or περί τι or ἀμφί τι. ἔχειν ἀμφί τι*. To be regularly e.-d in athg, *ἐπιτηδεύειν τι* (*by way of duty*). *σπουδάζειν περί τι or προσκαθίζεσθαί τινι* (*diligently, or fm choice*): to be continually e.-d, or e. oneself continually in athg, *διατελεῖν πράττοντά τι*: I don't know how to e. myself, *ἀπορία μοι ἔργων*: to be much e.-d, *πολλὴν ἀσχολίαν or πράγματα πολλὰ ἔχειν*: e.-d, *ἄσχολος*, 2. *σπουδαῖος*, 3: to e. a person in any capacity, *ἀποδεικνύναι τινά τινα* (*e.g. as admiral, ναύαρχον*): to e. a physician, *τὸ ἰατρικὸν ἔργον διδόναι τινί*: to be e.-d as physician, *τὸ ἰατρικὸν ἔργον λαβεῖν*.

EMPLOY, -PLOYMENT, *s.* *πρᾶξις, ἐργασία and ἀσχολία, ἡ* (*business, occupation*). *πρᾶγμα, ἔργον and ἀσχόλημα, τό* (*as thing*). *ἐπιτήδευμα, τό* (*an e. carried on methodically*). One's daily e., *τὰ καθ' ἡμέραν ἔργα*: a public e., *λειτουργία, ἡ*: to have a public e., *λειτουργεῖν*: to be in the e. of the state, *τάξιν ἔχειν* (*ἀρχήν, if with command*) *ἀπὸ τῆς πόλεως*: to go to one's e., *πρὸς ἔργα τρέπεσθαι*: to have some e., *ἄσχολον εἶναι or ἀσχολίαν ἔχειν*: to have a thousand (= *a great number*) various e.'s, *ἐν μυρίαις εἶναι ἀσχολίαις*: to make athg one's e., *ἔργον ποιεῖσθαί τι. ἐπιτηδεύειν τι*: to make athg one's constant e., *διατελεῖν πράττοντά τι*. ¶ *The act of employing*] *τὸ χρῆσθαι. χρῆσις, χρεία, ἡ*. A bad e. (of athg), *ἀπόχρησις, ἡ*.

EMPLOYER, *μισθοδότης, δεσπότης, ου, ὁ. οἰκοδεσπότης, ου, ὁ. ἐπιστάτης, ου, ὁ*: *fem. δέσποινα, ἡ*.

EMPOISON, *φάρμακα ἐμβάλλειν τινί or εἴς τι or φ. προσμιγνύναι τινί. φαρμάττειν τι*. *See* POISON.

EMPORIUM, *ἐμπόριον, τό*.

EMPOVERISH. ¶ *Lit.*] *πτωχὸν ποιεῖν. εἰς πτωχείαν or πενίαν or ἀπορίαν καθιστάναι*. To be e.-d, or in e.-d circumstances, *ἐξίστασθαι, πένεσθαι, πένητα εἶναι. πενίᾳ ἐνέχεσθαι* (*pass.*). *ἐνδεῶς ἔχειν. σπανίζειν. δεῖσθαι* (*pass.*). To become e.-d, *εἰς πενίαν or ἀπορίαν καταστῆναι. ἐξίστασθαι τῶν ὑπαρχόντων*: to be entirely e.-d, *εἶναι ἐν ταῖς ἐσχάταις ἀπορίαις. εἰς ἐσχάτην ἀπορίαν καταστῆναι*. ¶ *Fig.*] *ἐκπίνειν* (*to exhaust*). To e. a land (*i. e. the soil*), *καρπίζεσθαι or ἐκκαρπίζεσθαι τὴν γῆν. ἐπὶ καλάμῃ ἀροῦν. ταλαιπωρεῖν τὴν χώραν*: to e. the blood, *τὸ αἷμα μειοῦν or ὑγρότερον ποιεῖν*: to e. a language, *γλῶτταν εἰς λόγων ἀπορίαν καθιστάναι*.

EMPOVERISHMENT. *Crcl. with εἰς πενίαν or ἀπορίαν καταστῆναι, &c. See* EMPOVERISH.

EMPOWER, *κύριον ποιεῖν τινά τινος. ἐπιτρέπειν τινί τι. διδόναι τινὶ ἐξουσίαν ποιεῖν τι*. To be e.-d, *ἐξουσίαν ἔχειν, ἐξουσία δέδοταί μοι. κύριον εἶναί τινος*: to be e.-d to conclude a war, *ἥκειν αὐτοκράτορα περὶ εἰρήνης*.

EMPRESS, *αὐτοκράτωρ, ορος, ἡ. ἡ τοῦ αὐτοκράτορος γυνή*.

EMPRISE. *See* ENTERPRISE, UNDERTAKING.

EMPTINESS, *κενότης, ητος, ἡ. τὸ κενόν. ἐρημία, ἡ. ματαιότης, ητος, ἡ. τὸ φθαρτόν* (= inanitas).

EMPTION. *See* PURCHASE.

EMPTY, *v.* *κενοῦν, ἐκκενοῦν, ἀποκενοῦν. ἐρημοῦν. ἐξινοῦν* (*q. tt.*). *ἐξαντλεῖν* (*to e. a vessel by pumping or baling*). *ἐκπίνειν, καταπίνειν* (*by drinking*). *καθαίρειν or ἐκκαθαίρειν* (*by cleaning out*). ¶ *To empty itself*] *ἐξερεύγεσθαι* (*pass.; of a river*) *or συμβάλλειν* (*of a stream that flows into a larger river*). The river e.'s itself into the sea, *ὁ ποταμὸς ἐκβάλλει or ἐσβάλλει or ἐξερεύγεται εἰς τὴν θάλατταν*.

EMPTY, *adj.* *κενός*, 3, *and διάκενος*, 2 (*that contains nothing*). *ἔρημος*, 2 (*deprived of what was there or of what we expect*). *γυμνός*, 3 (*wanting, denudated*). An e. space, *τὸ κενόν*: to let athg stand e., *ἔρημον καταλείπειν τι. ἐκλείπειν τι*. ¶ *Void, without substance*] *μάταιος*, 3. *κένος*, 3. *ἐξίτηλος*, 2. *οὐδενὸς ἄξιος*, 3. E. words, *μάταιοι λόγοι*: e. hopes, *κεναὶ ἐλπίδες*: an e. fellow, *βλάξ, ακός, ὁ*: to be engaged in e. things, *κενοσπουδεῖν*.

EMPURPLE. ¶ *To dye purple*] *Crcl. with* to DYE.

EMPURPLED, *πορφυροβαφής, πορφυρόβαπτος*, 2.

EMPYREAL. *See* FIERY.

EMPYREAN. ¶ *The highest heaven* (*poet.*)] *αἰθήρ, έρος, ὁ. οὐρανός, ὁ. σκηνὴ οὐρανοφόρος* (*canopy of heaven; ap. Athen.* ii. p. 48).

EMULATE, *ζηλοῦν τινα. ζηλοτυπεῖν τινα. διώκειν τά τινος ἴχνη. φιλοτιμεῖσθαι* (*pass.*) *περί τινος or εἴς τι or πρός τι. ἐφίεσθαί τινος. ἀντέχεσθαί τινος. θηρᾶν τι* (*with ref. to the object of our emulation*). To e. with aby in athg, *ἁμιλλᾶσθαι πρός τινα ὑπέρ τινος or περί τινος*. *See* to RIVAL, VIE.

EMULATION, *ζήλωσις, ἡ. ζῆλος, ὁ. ζηλοτυπία, ἡ. φιλοτιμία, ἡ. φιλονεικία, ἡ*. E. in athg, *ἅμιλλά τινος or περί τι*: e. with aby, *ἅμιλλα πρός τινα*: to kindle aby's e., *ἐμβάλλειν or ἐμποιεῖν τινι φιλονεικίαν*: a man of no e., *ἀφιλότιμος*, 2.

EMULATOR, *φιλόνεικος ἀνήρ, ὁ. ζηλωτής, οῦ, ὁ. ἀνταγωνιστής, οῦ, ὁ*.

EMULOUS, *φιλότιμος*, 2. *φιλόνεικος*, 2. To do athg in an e. manner, *φθάνοντας ἀλλήλους ποιεῖν τι*.

EMULOUSNESS. *See* EMULATION.

EMULSION, *ψυκτήριον φάρμακον, τό*.

ENABLE, *παρέχειν τινὶ δύναμιν. παρασκευάζειν or παρέχειν τινὶ ἐξουσίαν. ὑπουργεῖν τινι μηχανήν. ποιεῖν τινα δυνατόν or ἱκανόν*. To be e.-d to do athg, *ἱκανὸν or δυνατὸν γίγνεσθαι. δύνασθαι, οἷόν τε εἶναι, ποιεῖν τι*.

ENACT, *προστάττειν, ἐπιτάττειν. παραγγέλλειν* (*to command, enjoin*). *καθιστάναι* (*to establish, fix*). *συντάττειν, διατάττειν, συνιστάναι* (*to order, and state particulars*), *also κρίνειν, γιγνώσκειν*. It has been e.-d, *δέδοκται. παρήγγελται*: to e. a law, *νομοθετεῖν. νόμον τιθέναι, γράφειν, καθιστάναι, ἀποδεικνύναι*: a law was e.-d by aby, *ὁ νόμος κεῖται ὑπό τινος*: the law e.-d, *ὁ νόμος προστάττει or ἔστιν ἐν τῷ νόμῳ* (*it has been e.-d by a law*).

ENACTMENT (*of a law or by law*), *τάξις, πρόσταξις, ἡ. προσταγή, ἡ* (*as act*). *τὸ παρηγγελμένον. πρόσταγμα, ἐπίταγμα, διάταγμα, τό* (*the thing enacted*). To make an e., *προτιθέναι ἐπίταγμα or διάταγμα*.

ENACTOR. *Crcl. with verbs in* ENACT.

ENAMEL, *v.* *ἐγκαίειν*.

ENAMEL, *s.* *ἔγκαυμα, τό. ἐγκαυστος γραφή, ἡ*.

ENAMELLER, *ἐγκαυστής, οῦ, ὁ*.

ENAMOURED, *ἐρωτικός*, 3. *ἐρῶν, ῶσα, ῶν. φιλέραστος*, 2. *ἁλοὺς ἔρωτι. ἔρωτος ἥσσων*, 2. An e. person, *φιλεραστής, οῦ, ὁ*: *fem. φιλεράστρια, ἡ*: to be e., *φιλεραστεῖν. ἐρᾶν and ἔρασθαι*:

to be e. with aby, ἐρωτικῶς ἔχειν τινός. ἔρωτα ἔχειν τινός. ἐρᾶν τινος: e. with one's own person, αὐτάρεσκος, 2. αὐθάδης, 2: desperately e., ἐρωτομανής, 2: to be desperately e., ἐρωτομανεῖν: — with aby, ἐπιμαίνεσθαί (*pass.*) τινι.

ENCAGE. *See* to CAGE.

ENCAMP, στρατοπεδεύειν *and* στρατοπεδεύεσθαι. καταστρατοπεδεύειν. στρατόπεδον ποιεῖσθαι *or* βάλλεσθαι. τίθεσθαι τὰ ὅπλα. καθίζεσθαι. To cause (the army) to e., καταστρατοπεδεύειν.

ENCAMPMENT. *See* CAMP.

ENCAUSTIC, *adj.* ἐγκαυστικός, 3. An e. painting, ἔγκαυμα, τό: an e. painter, or one that makes e. paintings, ἐγκαυστής, οῦ, ὁ.

ENCAUSTIC, *s.* The e. art, ἐγκαυστική, ἡ.

ENCHAIN. *See* CHAIN.

ENCHANT. ¶ *Propr.*] γοητεύειν, καταγοητεύειν τινά. βασκαίνειν *or* καταβασκαίνειν τινά. μαγγανεύειν (*rare*) *or* καταμαγεύειν τινά. ἐπάδειν τινί. *See* to BEWITCH. ¶ *Fig.*] θέλγειν. κηλεῖν *and* κατακηλεῖν. τέρπειν. εὐφραίνειν. ψυχαγωγεῖν. παραφέρειν. To be e.-d with athg, ὑπερήδεσθαί τινι. *See* to BEWITCH, to CHARM, to FASCINATE.

ENCHANTED. *Crcl. with* ENCHANT, *v.*

ENCHANTER, μάγος, ὁ. γοής, ὁ. φαρμακεύς, ὁ. ἐπῳδός, ὁ.

ENCHANTING, θελκτήριος, κηλητικός *and* κηλητήριος, 3. εὐτερπής, 2. ὑπερηδύς, εῖα, ύ. ψυχαγωγικός, 3. ἥδιστος, 3. θεῖος, 3.

ENCHANTINGLY. *Fm* ENCHANTING. E. beautiful, ἀμήχανον ἔχων τὸ κάλλος.

ENCHANTMENT. ¶ *Prop.*] γοητεία, ἡ. βασκανία, ἡ. μαγγανεία, ἡ. ἐπῳδή, ἡ. *See* SPELL. ¶ *Fig.*] κήλησις, ἡ. κήλημα, τό. τὸ θέλγειν. θέλγμα, θέλγητρον, τό. θεία ἡδονή *or* χάρις, ἡ. *See* CHARM, FASCINATION.

ENCHANTRESS, φαρμακεύτρια, ἡ. φαρμακίς, ίδος, ἡ. ἐπῳδός, ἡ. γοῆτις, ιδος, ἡ.

